# ΛΙΒΑΝΙΟΥ ΜΕΛΕΤΗ ΤΡΙΤΗ.

Ἔχων τις γυναῖκα, καὶ ὢν ὑπὸ πατρί, ἀπεδήμησεν. ἐγένετο ὑπὸ λῃσταῖς. ἔγραψε πρὸς τὸν πατέρα λυτρῶσαι δεόμενος, ὁ δὲ οὐχ ὑπήκουσεν. ἡ γυνὴ ἀποδομένη τὰ ὄντα αὐτῆς ἔπλευσεν ἐπὶ τῷ λύσασθαι. ναυαγίῳ ἐχρήσατο. ἐξεβράσθη εἰς τὸν τόπον, ἐν ᾧ ἦν ὁ ἀνήρ. ἰδὼν ἐκεῖνος τὸ σῶμα, καὶ ἐπιγνούς, ἐδάκρυσε. γνόντες δὲ οἱ λῃσταὶ τὴν αἰτίαν, ἀφῆκαν αὐτόν. ἐπανελθὼν ἀναγκάζεται ὑπὸ τοῦ πατρὸς γαμεῖν, καὶ μὴ βουλόμενος ἀποκηρύττεται.

Οὔπω κόρον ἔοικεν ὁ δαίμων, ὦ Δικασταί, τῶν εἰς ἐμὲ κακῶν εἰληφέναι, καὶ ταῦτα οὕτω συχνῶν καὶ μεγάλων γεγενημένων· ἐγὼ μὲν γὰρ ᾤμην πέρας εἶναί μοι τῶν δυσχερῶν τὴν ἐπάνοδον, εὑρίσκω δὲ τὴν τύχην (ἄμεινον γὰρ ἐκείνην ἀντὶ τοῦ πατρὸς λέγειν) ἐπηρεάζουσαν ἔτι. Τὸ μὲν μετὰ τὸν πλοῦν τὸν ἐπάρατον ἐκεῖνον, καὶ τοὺς λῃστάς, καὶ τὴν τῆς ἀθλίας γυναικὸς τελευτήν, ἔτι καὶ τῶν οἴκοι πειρᾶσθαι δυσκόλων, οὐκ οἶδα εἴ τινι κατέλιπε μείζω συνάξαι. Ἀλλ᾽ εἰ μὲν οἱ δυστυχοῦντες ἀδικεῖν νομίζονται, καί τινες ἀνθρώπων οὕτως ἀτόπως ἔχουσιν, ἀνάγκη σιωπῇ φέρειν τὴν ζημίαν. οὐδὲ γὰρ εἰπόντι μοι πλέον οὐδέν. εἰ δὲ χωρὶς μὲν τὰ πονηρεύματα, χωρὶς δὲ τὰ δυστυχήματα, καὶ τοὺς μὲν μισοῦμεν, τοὺς δὲ ἐλεεῖν εἰώθαμεν, οἶμαι (ξὺν θεοῖς εἰπεῖν) τόν τε πατέρα τῆς ὀργῆς παύσειν, ὑμᾶς τε διδάξειν, ὡς οὐκ ἄξιός εἰμι ταῦτα παθεῖν, ἐφ᾽ οἷς εἰσῆγμαι. τὸ μὲν οὖν προσῆκον ἦν, ὦ Ἄνδρες, πενθεῖν με νῦν ἐγκεκαλυμμένον, καὶ θρηνεῖν συνεχῶς τὸ γύναιον, καὶ τὸν πατέρα τουτονὶ τὸν χρηστόν, εἰ μὲν ἐβούλετο κοινωνεῖν μοι

τῶν

τῶν δακρύων, εἰ δὲ μὴ τοῦτο, ἐπ' ἐμαυτόν με τὰς ἐμὰς συμφορὰς ὀδύρεσθαι. ἐπεὶ δὲ οὐκ οἶδα τί γνούς, μελανειμονοῦντά με ἕλκει εἰς δικαστήριον, τὸν δὲ τῶν θρήνων καιρὸν ἀγῶνος ποιεῖται, δέομαι ὑμῶν καὶ ἱκετεύω μὴ συνδραμεῖν τῷ πάθει τῶν ἀδίκως ἀγανακτούντων, ἀλλ' εἰς ὅσον ἔξεστιν ἐπανορθῶσαι, καὶ μὴ περιιδεῖν τοῦτον μου ἔρημον γιγνόμενον, ἐμὲ δὲ ἐξελαυνόμενον ἐπὶ τῷ δοκεῖν ἀδικεῖν, ὃ καὶ μάλιστα δέδοικα. ὡς τὸ μὲν παθεῖν τι δεινὸν, μέτριον ἔμοιγε καὶ καινὸν οὐδέν, τὸ δὲ προσεῖναι τινὰ φαυλότητος αἰτίαν, τοῦτο ἂν εἴη τοῖς σωφρονοῦσιν ἀφόρητον. Πλεονεκτεῖ μὲν οὖν ὁ διώκων αὐτὸς τούτῳ, τῷ πατὴρ εἶναι, καὶ πᾶν ὅ,τι φθέγξηται τῇ τῆς προσηγορίας προσθήκῃ δίκαιον φαίνεται. παῖς δὲ φεύγων καὶ κρινόμενος, ἂν μὲν ὑποστείληται, καὶ τὸν ἐφεστηκότα κατήγορον αἰδεσθεὶς ὑπερβῇ τι τῶν ἰσχυρῶν, ἑάλωκεν. ἂν δ' οἴηται δεῖν ἑαυτῷ βοηθεῖν, αὐτῷ τούτῳ τῷ τὰ δίκαια λέγειν, θρασύνεσθαι δοκεῖ. Ἓν μὲν οὖν, ὦ Δικασταί, τοσοῦτον ἐλαττοῦμαι· ἕτερον δὲ οὐ μικρόν τι. ἀνάγκη γὰρ τῇ μνήμῃ τῶν γεγενημένων, καὶ μάλιστα τῶν τῆς γυναικὸς εἰς ταραχὴν ἐμπίπτοντα, τῶν λογισμῶν ἐκκρούεσθαι. ἂν οὖν τι τοιοῦτον συμβῇ, βοηθεῖτε τῷ κινδυνεύοντι, καὶ παρ' ὑμῶν αὐτῶν πληροῦτε τὰ ἐλλείμματα. τὸ γὰρ τὰ εὔορκα ψηφίζεσθαι τοῦτ' ἐστι, τοῖς πανταχόθεν φαινομένοις ἀκολουθεῖν, κἂν ὁ λέγων ἀδυνάτως ἔχῃ σῴζειν ἑαυτόν. Ἐγὼ μὲν οὖν ἐβουλόμην, ὦ πάτερ, ἐν ἡμῖν αὐτοῖς ἐᾶσαι τὰ συμβεβηκότα, μηδὲ ἀνάγκην προσεῖναι ταῦτα φέρειν εἰς μέσον. διατί; ὅτι οὐ πάντες ἡμῖν ἔχουσιν οἱ κατὰ τὴν πόλιν ἐπιτηδείως, ἀλλ' εἰσὶν οἳ καὶ μισοῦσιν. οὐδὲ γὰρ ἔνεστιν ἀνθρώπους ὄντας μὴ καὶ δυσχεραίνεσθαι. Τί οὖν τούτους εὐφραίνομεν τοῖς ἡμετέροις κακοῖς; τί τοῖς διαφόροις χαρίζῃ, τὰ τιμιώτατα τῶν σαυτοῦ περιελαύνων; πέπρακταί τινι χαλεπά; σιωπάσθω ταῦτα. κέρδος λαθεῖν τὰς πολλὰς συμφορὰς γεγενημένας. ἐπεὶ δὲ οὐ συγχωρεῖς ἡσυ-

χά-

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ... ΙΩΑΝΝΙΝΑ 2006

χάζειν ἐθέλοντι, ἀλλ' ἐν δικαστηρίῳ δεῖ με τραγῳδῆσαι τὰ πάθη τῆς οἰκίας, λέξω, καὶ διηγήσομαι, ἄκων μὲν, ἄκων, νὴ τοὺς Θεοὺς, ἐρῶ δὲ ὅσα ἂν οἷός τε ὦ. Ἐγενόμην, ὦ Ἄνδρες, τούτῳ παῖς, δυστυχὴς μὲν ἄγαν, πονηρὸς δὲ οὐδαμῶς. τεκμήριον δὲ, οὐ γὰρ ἀπεκήρυξε πρότερον, οὐδὲ ἐπήνεγκεν αἰτίας, οὐ μικρὰς, οὐ μείζους, ἀλλ' ἔστεργεν, ἐπαίδευεν, ἐπῄνει, πολλάκις ηὔξατο τοῖς Θεοῖς φυλάττειν αὐτῷ τὸν τοῦ κλήρου διάδοχον. ἐπεὶ δὲ ἐδόκει καιρὸς εἶναι γάμου, πρός με μνημονεύει, καὶ διηγεῖται τὸ γένος τῆς κόρης, τὴν σωφροσύνην, τὸν τρόπον, τοῦ σώματος τὴν ὥραν, πάντα οἷς ἄν τις ἐπισπασθείη νοῦν ἔχων, καὶ τελευτῶν προσέθηκεν, εἰ μὴ καὶ τὸ παρὸν ἁρμόσαιμι, μηκέτι παραπλήσιον γάμον ζητήσῃς. Ἐπείσθην. τί γὰρ οὐκ ἔμελλον τοσαῦτα ἀγαθὰ προσίεσθαι; καὶ νὴ Δία τὸν πατέρα τῆς προνοίας ἐθαύμασα. Τί δεῖ καθ' ἕκαστον λέγειν ὅσα παρ' ἡμέραν ἐξέφερε γυναικείας ἀρετῆς ἐπιδείγματα; ἓν γὰρ τὸ εἰς ἐμὴν διὰ χρημάτων ἀποπλεῦσαι ἐλευθερίαν, ὃ πᾶσιν ἐπέθηκε, γνώρισμα τῶν ὅλων γίνεται. Οὕτως οὖν ἡμῶν ἐν ἅπασι χρηστοῖς καὶ κουφιζόντων τὰ λυπηρὰ, καὶ συναυξόντων τὰ βελτίω, δαίμων πονηρὸς τῇ συζυγίᾳ φθονεῖ, καὶ περιίστησι τοσαύτην ἀποδημίας ἀνάγκην, ὅσην οὐκ ἦν διώσασθαι. καὶ γὰρ τοι παρὰ πολλοῦ μὲν ἐφαίνετο τῆς γυναικὸς ἀπολαύειν, ἔμπροσθεν δὲ ἐγίνετο τῆς ἐπιθυμίας ἡ χρεία. Καὶ τούτοις οὐκ ἀντερεῖς, ὦ πάτερ. εἰ γὰρ ἄλλως περιειργαζόμην, ἐξῆν κωλύειν. Οὔσης τοίνυν ἀνάγκης ἀπαίρειν, ἐμβὰς εἰς ὁλκάδα, καὶ παρὰ τοῦ Ποσειδῶνος αἰτήσας ἰδεῖν ποθ' ὕστερον τὸν πατέρα καὶ τὸ γύναιον, ἀνηγόμην. Ὡς δὲ γῆν ἀποκρύψαντες, πέλαγος διεβάλλομεν, ὁρῶ πλοῖον ἐπιφερόμενον λῃστρικόν. οἱ δὲ καὶ δὴ πλησίον ἦσαν· καὶ παραχρῆμα μεστὸν τὸ κατάστρωμα τοξοτῶν, ὁπλιτῶν, ἀνδρῶν ἐκ κοίλης νηὸς ἀνιόντων. ὥστε μικρὸν ἦν αὐτοῖς ἔργον τὸ κρατεῖν. Αἱ μὲν οὖν προσ-

δο-

δοκίαν, θάνατον ἠπείλουν. οἱ λῃσταὶ δὲ κρείττους τῆς προσδοκίας ἐγένοιντο. ἐφ' οἷς τότε μὲν αὐτοὺς ἠγασάμην, νῦν δὲ κατηγορεῖν προῆγμαι. Τί γὰρ ὦ κακῶς φιλανθρωπευσάμενοι πρότεροι τοῦ χρήματος ἀπεδείχθητε; τί με τοσαύταις ἀπέθεσθε συμφοραῖς; θρήνῳ γυναικὸς, παιδὸς ὀργῇ, ψήφῳ δικαστῶν; Ἐπειδὴ τοίνυν ἁλοὺς, ἤλγουν τοῖς συμβᾶσι. δρασμὸν δὲ οὐκ ἐβουλόμην, οὐδὲ παρεῖχον ὑποπτεύειν, οὐδὲ καθ' ἕνα τρόπον, ἀλλ' ἐφύλαττον καὶ παρὰ τὴν δυστυχίαν τὴν γνώμην, ἐπικάμπτω πρὸς ἔλεον τοὺς λῃστὰς λαμπρότερον. καὶ τάγε ἄλλα πάντα φιλανθρώπως ἐκέχρηντό μοι, καί ποτε ἤροντο, εἰ πατήρ ἐστι μοι. Ἔστιν, ἔφην, καὶ χρηστὸς καὶ βέλτιστος, καὶ πάντα ἐλάττω τοῦ παιδὸς ἡγούμενος, καὶ νῦν ἀγνοεῖν ἔοικε τὴν συμφορὰν, εἰ δ' ἐπιστάμενος ἐτύγχανε, πάλαι ἂν ὑμᾶς ἱκέτευεν. Ἀλλὰ παρέσω, φασὶ, λύτρα φέρων, καὶ πρὸς τοὺς οἰκείους ἀποσώζει. Ἐκεῖνοι μὲν ταῦτα, τὰ δὲ ἐφεξῆς εἴπω, καὶ διηγήσομαι, καὶ οὐκ ὀργῇ. δεῖξον, ὦ πάτερ, τοῖς δικασταῖς τὴν ἐπιστολὴν, εἰπὲ τίς ἐκείνην ἔπεμψε, καὶ πόθεν, καὶ τοῦ δεόμενος; Καὶ ταῦτα διῆλθον, οὐ διαβάλλειν βουλόμενος (μήποτε οὕτω μανείην) ἀλλ' ὑπὸ τῆς τῶν πραγμάτων ἀκολουθίας ἐνταῦθα ἐμπεπτωκώς. ἐπεὶ ὅτι γε κακοήθειαν οὐδεμίαν προσάγω τοῖς πεπραγμένοις, δῆλον ἐγγύθεν. αὐτὸς ἀπολογοῦμαι περὶ τῶν ἐληλεγμένων. μηδεὶς λεγέτω τὸν πατέρα κακῶς, οὐ κατερρᾳθύμησεν· οὐκ ὠλιγώρησε τοῦ παιδός. οὐ περιεῖδε τὴν φύσιν. ἀλλ' οὐκ ηὐπόρησεν ἐρανιστῶν· οὐκ ἦν ὅθεν ποιήσαιτο δάνεισμα. ταῦτα αὐτὸς ἐμαυτὸν πέπεικα· ταῦτα καὶ τοὺς ἄλλους φρονεῖν ἀξιῶ. καὶ τὸν μὲν οὐ κακίζω. τὴν γυναῖκα δὲ ἐπαινῶ. πάντως καὶ τοῦτο σὸν, ὦ πάτερ, γίγνεται, δι' ὃν ἐκείνῃ συνῴκηκα. Πῶς οὖν τὸ γυναῖον; τοῦτ' ἐκεῖνο τὸ πάθος με καταλαμβάνει, καὶ συγχεῖ τὸν λογισμόν. πειρατέον οὖν διελθεῖν οὕτως ὅπως ἂν ἔχῃ. Ἦν αὐτῇ κόσμος, ὦ Δικασταὶ, ἱμάτια, καὶ χρυσία, ἐλικτῆρες, καὶ

αμ-

ἀμφιδέραι, καὶ τοιαῦτά τινα· ταῦτα ἀποδομένη, καὶ τὴν λύτρων ἀγείρασα τὸ μεῖζον, λαθοῦσα μὲν τὸν κηδεστὴν, μεμψαμένη δὲ οὐδὲν, ἐπιβαίνει νεὼς, αὐτῇ προσήκειν ἡγησαμένη τὴν λύσιν. Καὶ πάλιν ἡ τύχη βουλεύει χαλεπώτερα. σκηπτοὶ γὰρ ἐξ οὐρανοῦ, καὶ ζάλη θαλάττης, καὶ τὸ κλυδώνιον ὑπερίσχυε. καὶ τὸ σκάφος εὐθὺς ὑποβρύχιον. Ἔδει ἄρα καὶ τελευτῆσαν τὸ γύναιον λύσασθαί με τινα τρόπον. πνεῦμα καὶ ῥοῦς ἐπιθέμενος ἐκφέρει τὸ σῶμα πρὸς τὴν ἠϊόνα, καὶ τὸν χῶρον ἐκεῖνον, οὗ δουλεύων ἐτύγχανον. Ὡς δὲ κατεῖδον νεκρὸν ὑπὸ θαλάττης ἐκβεβλημένον, προσιὼν κατὰ μικρὸν γνωρίζω μὲν τῆς μορφῆς τὸν τύπον, ἐνθυμοῦμαι δὲ τῆς συμφορᾶς τὴν αἰτίαν, ἔξω δὲ ἐμαυτοῦ γινόμενος, ὑπὸ τοῦ κακοῦ περιχυθεὶς ἐκείμην, καὶ τὸ κῦμα ἐπεξιὸν ἀμφοτέρους κατέκλυζεν. Ἐκεῖνο τὸ πάθος, καὶ λῃστῶν ἐδάκρυσε φατρία, καὶ κατηνέχθησαν εἰς οἰμωγὰς πρὸς τὴν ὄψιν τοῦ δράματος, καὶ τὸν οἶκτον ἔδειξαν ἔργοις αὐτοῖς· ἃ γὰρ περιοῦσαν ἐκείνην εὕρισκον βουλομένην, ταῦτα ἔδωκαν καὶ κειμένῃ. καὶ πρὸς ἐμὲ, ὀπίσω, φασὶν, ὦ κακόδαιμον. ἐπείγου παρὰ τοὺς οἰκείους. οὐδέν σοι δεῖ χρημάτων. λύεταί σε τῆς γυναικὸς ἡ τύχη. Τοιούτων ῥηθέντων τῶν λόγων, ὥρμησα μὲν ἐπικατασφάξαι τῷ σώματι ἐμαυτὸν, καὶ τὴν ἀμοιβὴν ἀποδοῦναι πρέπουσαν. ἐννοήσας δὲ τὸν πατέρα καὶ τὴν ἡλικίαν, ἥκω τοῦτον μὲν γηροτροφήσων, αὐτὸς δὲ ἐν δάκρυσι βιωσόμενος. Ὁ δὲ ἀντὶ τούτων οὐκ ἐσκέψατο παραμυθίαν, οὐδ᾽ ὧν τῷ τὸ γύναιον συνεπαινέσαι τῆς λύπης ὀφείλων. Ἀλλ᾽ ἄρτι καταπεπλευκὼς παραιτοῦμαι, καὶ φανεὶς ἀπροσδόκητος κρίνομαι· καὶ διεδέξατο δουλείαν καὶ στέρησιν γυναικὸς δικαστηρίου φόβος. Ναί φησι. νόμος γάρ ἐστι μοι, διδοὺς τὴν ἀποκήρυξιν. Ἐγὼ δὲ οὐκ ἐρῶ τὸ προχειρότατον, ὡς ὁ νόμος οὗτος ἀπειλὴν μὲν ἔχει ψιλὴν, τὸ δὲ ἔργον οὐ προστίθησιν. οὐδ᾽ ὡς ὁ θεὶς αὐτὸν ἀνασείει μὲν τοῖς νέοις τὴν τιμωρίαν, προανασέλλων τὴν θρασύτητα τῷ δέει, τὴν δὲ φύ-

σιν

σιν οὐκ ἀνέχεται πρὸς αὐτὴν ἐκπολεμῶν. τοῦτο γὰρ ἂν ἦν οὐκ ἀνδρὸς ὁμονοοῦσαν τὴν πόλιν συνέχοντος, ἀλλ᾽ ἐχθροῦ κοινοῦ διασπᾷν τὰ γένη πειρωμένου. Ἀλλ᾽ ἔστω, δεδόσθω. τοῖς γράμμασι προσέχωμεν μόνοις· μηδὲν ἐξεταζέσθω πλέον. Τί οὖν ἐν τῷ δοῦναι τὴν τῆς ἀποκηρύξεως ἐξουσίαν, καὶ πάντας εὐθὺς ἀποκηρύττειν δέδωκεν; οὐκ ἔστιν· ἀλλ᾽ ὧν μὲν κατέγνωκε, τούτους μισεῖ, οἷς δὲ οὐδὲν ἐγκαλεῖ, τούτοις οὐδὲ διείλεκται. ἐπεί γε καὶ τὸν ἀνδροφόνον κρίνειν ἔξεστιν, ἀλλ᾽ οὐ τόν γε τὴν χεῖρα καθαρὸν ἄξιον. οὕτω δὴ καὶ περὶ τούτων. οὐχ ἡ τῆς ἀποκηρύξεως ἐξουσία βλάπτει τοὺς ἐπιεικεῖς τῶν νέων, ἀλλ᾽ οἱ μοχθηροὶ τῶν νέων ὑπὸ τὸν νόμον ἔρχονται. Ἐπεὶ δὴ τὰ πλημμελήματα παρελθών; μεθύοντα λαβὼν ἀγανακτεῖς; ἐμπεφορηκότα τι τῶν ἔνδον; κυβεύοντα; πόρνην ἔχοντα; ἀλλ᾽ εἰς σεαυτόν τι πεπαρῳνηκότα; κακῶς εἶπον; ἀναιδὲς ὑπέβλεψα; πληγὰς ἠπείλησα; ᾐτιασάμην πρὸς τὸν πλησίον; σκαιὸν ἀπεκάλεσα καὶ τραχύν; ἀρρωστοῦντος κατημέλησα; ταῦτα ἐπίδειξον, καὶ μικρὰν ἡγοῦμαι δίκην τὴν ἀποκήρυξιν. Ἀλλὰ τούτων μὲν οὐδὲν, ὠμότητα δὲ προσήνεγκα τὰ περὶ τὴν ἐπιστολὴν διηγούμενος, ὡς ἐγὼ μὲν ἀντιβολῶν, σὺ δὲ διέπτυες; καὶ τίς τῶν πάντων ἀνήκοεν; οὐδὲ πρὸς τοὺς λῃστὰς ἔγωγε τοῦτο ἐξελάλησα. εἶεν. ἀλλ᾽ ἔναγχος καταθάψας γυναῖκα χρηστὴν ἀναξίως ἀπολωλυῖαν, ἐπείγομαι πρὸς δεύτερον γάμον. καὶ τοῦτο ἐγκαλῶν ἀπελαύνεις; μὴ σύγε. μὴ μάγος ἀπέλαυνε. δημίου δεῖται τὸ πονήρευμα. ταῦτα οἴου παρὰ τοῦ νόμου νῦν ἀπαιτεῖσθαι. τί πέπρακται; τί τετόλμηται; Εἰ μὲν ἠδίκησε, λάμβανε δίκην, εἰ δὲ οὐδὲν πέπονθας, παῦσαι φιλονεικῶν. διὰ ταῦτα γάρ φησι, καθίζω δικαστήριον, ὑφορώμενος τὴν τῶν πατέρων ὀργὴν ἔξω πολλάκις τοῦ δικαίου φερομένην. Ἐπειδὴ τοίνυν τιμωρία τὸ γιγνόμενόν ἐστι, δειχθήτω πρὸς τῆς ζημίας τὰ κακουργήματα. Οὐ γὰρ ἐθέλεις, φησὶ, γαμεῖν. καὶ τίς τοῦτο νόμος εὐθύνει; τίς οὐ γα-

μῶν,

ΙΩΑΝΝΙΝΑ 2006

μῶν, ἀδικεῖν εἰσήχθη πώποτε; τίς ἔδωκε δίκην τοῦ πικροῦ τοῦ βίου ἢ νῦν, ἢ πρότερον, ἢ παρ' ἡμῖν, ἢ παρὰ τοῖς προσχώροις, ἢ τὸ κοινὸν δὴ τοῦτο, παρ' Ἕλλησιν; ἐγὼ μόνος, εἰπέ μοι, ταύτην ἦργμαι τὴν ὁδόν; παραδείγματα δὲ οὐκ ἂν ἔχοιμι λέγειν καὶ παλαιὰ καὶ νέα; πῶς οὖν οὐκ ἄτοπον τοὺς μὲν αὐτὰ πολλοὺς ἐπιτηδεύειν, μόνον δὲ ἐξ ἁπάντων ἐμὲ κινδυνεύειν; καὶ τῶν ἔργων ἔχοντα κοινωνοὺς, τῆς ὀργῆς παρὰ τοὺς ἄλλους κληρονομεῖν; ἀλλ' οὔτε ἐκείνοις οὐδεὶς ἂν ἐγκαλέσειεν ὑγιαίνων οἶμαι, ἐγώ τε τοῖς αὐτοῖς δικαίοις ἀφεῖμαι. ἀμφοτέρων γὰρ δήπου κύριοι καθεστήκαμεν, καὶ τοῦ γαμεῖν ὁπότε κρεῖττον, καὶ τοῦ μὴ τοῦτο ποιεῖν, ὁπότ' ἄμεινον. ὥσπερ οὖν τοῖς ἐκεῖνο τιμῶσιν οὐκ ἔχει κίνδυνον ἡ προαίρεσις, οὕτω καὶ τοῖς τοῦτο προῃρημένοις, ἀθῶον εἶναι δεῖ τὴν γνώμην. ὅλως δὲ πάντα ἀδικήματα, καὶ τὰ μὴ, τῷ τὰ μὲν κεκωλῦσθαι, τὰ δὲ μὴ, δοκιμάζεται. Πρὸς ἐκεῖνο τοίνυν ἀναφέροντες κρίνωμεν. οὐ γὰρ νομοθετήσοντες ἥλθομεν, ὦ πάτερ, τήμερον, ἀλλὰ τοῖς κειμένοις ἑψόμενοι. ἀπόκριναι δή μοι· διὰ τί τὸ κλέπτειν ἀδικεῖν νομίζομεν; ὅτι, φαίης ἄν, γέγραπται μὴ δεῖν ὑφαιρεῖσθαι. καὶ περὶ τῶν προδοτῶν τοίνυν ὁ αὐτὸς λόγος, καὶ τῶν ὑβριστῶν, καὶ τῶν ἀνδροφόνων, καὶ τῶν μοιχῶν, καὶ τῶν ἐπὶ καταλύσει τοῦ δήμου εἰσιόντων. Πάλιν τοίνυν ἐρήσομαι, διὰ τί τὸ γεωργεῖν οὐκ ἀδίκημα, οὐδέ γε τὸ ναυτίλλεσθαι, καὶ φιλοσοφεῖν, καὶ πολιτεύεσθαι; πᾶς ἂν εἴποι δήπουθεν, ὅτι μηδὲν τούτων ἐν τοῖς κυρίοις ἀπείρηται νόμοις. Ὅ τοίνυν ἐκείνων ἕκαστον ἠλευθέρωσεν αἰτίας, τούτῳ καὶ τὸν γάμον ἀποφεύγειν ἀνεύθυνον γίνεται. εἰ γὰρ τοὺς μὲν νόμους παραβαίνοντες οὐ δι' αὐτὸ δίκην ὑφέξομεν, ἃ δὲ ἔξεστι δρῶντες, μηδὲν ἧττον κολασθησόμεθα, ταχέως τὴν πόλιν ἐκ δικαστηρίων κενώσομεν. ἀλλ' οὔτε ἐγένετο τοῦτό πω πρότερον, νῦν τε οὐκ ἂν εἰκότως ἀρχὴν λάβοι. Ἀλλ' οὗτος κανὼν κρίσεως ἄριστος. ὁ μὲν ὑπερβὰς νόμον, ζημιούσθω· ὁ δὲ μηδένα κεκινηκὼς, ἀπο-

φευ-

ἐλεγέτω. Τίς τοίνυν ὑπ' ἐμοῦ μὴ βουλομένου γαμεῖν τὸν νόμον ὑπερπεπήδηται; οὐδείς. ἑκάστῳ γάρ, οἶμαι, τῶν πολιτῶν ἐν τοῖς τοιούτοις, νόμος γίγνεται τὸ βούλημα. Ἐγάμουν πρότερον, ὦ πάτερ, ἠβουλόμην γάρ. νῦν οὐκ ἐθέλω. καὶ τοῦτο ἔξεστι. ὥσπερ γὰρ οἶμαι καὶ τρὶς καὶ πολλάκις ἐφεῖται γαμεῖν, καὶ περιττὸς ὁ διαβάλλων ἐν τούτῳ τὸ πλῆθος. οὕτω καὶ τὴν ἀρχὴν μὴ γαμεῖν, καὶ τοῖς πρώτοις ἀρκεῖσθαι, πάλιν δέδοκται καλῶς καὶ προσηκόντως· ἐπειδὴ γὰρ τοῖς μὲν συνήνεγκεν ἡ τοῦ πράγματος φύσις· τοῖς δὲ οὐκ ἐλυσιτέλησεν ἡ πεῖρα· τοὺς μὲν φοβεῖ, τοὺς δὲ ἐφέλκεται. Μὴ τοίνυν ὁριστὴς ὁ δεῖνα γιγνέσθω περὶ τούτων, ἐν οἷς καὶ τὸ βέλτιον καὶ τὸ χεῖρον ἑτέρῳ κινδυνεύεται. Εἰ τοίνυν καὶ τὴν ἀρχὴν ἀπεστρεφόμην τὸν γάμον, οὐκ ἂν ἠπόρησα λόγων, οἳ πείθουσιν οὔπω φρονεῖν· δῆλον οὖν τὰς μοιχείας, δῆλον αὖ παίδων ἀποβολάς, μέθην γυναικῶν, ἀκρασίαν, λαλιάν, ἀλαζονείαν, πολλὰς τραγῳδίας ἐκ γάμων γεγενημένας· ἀλλὰ νῦν οὐ λέγω τούτων οὐδέν· οὐ ταῦτά μοι δοξάζειν περὶ τοῦ πράγματος ἔδωκεν ἡ δυστυχής. Ἀλλὰ τί φημι; λόγον ἁπλοῦν καὶ δίκαιον, σὺ δὲ πρᾴως ἄκουσον· μὴ καταναγκάσῃς ἄδικόν με γενέσθαι περὶ τὴν κειμένην, ὦ πάτερ· μηδὲ τὴν ἐκείνης μεγαλοψυχίαν ἀγνωμοσύνῃ τρόπων ἀμείψασθαι· μηδὲ τὸν σαυτοῦ παῖδα χείρω γυναικὸς εἰς ἀρετὴν ἀποφήνῃς. Οὐ τοὺς μὴ βουλομένους γαμεῖν οἱ νόμοι μισοῦσιν, ἀλλὰ τοὺς οὐκ ἐθέλοντας εὐεργέταις εἰδέναι χάριν. εὐεργεσίαν παρ' ἐκείνης εἰλήφαμεν, ἧς ἐν τοῦτ' ἴσως ἄτοπον, ὅτι κρείττων ἐστὶν ἀμοιβῆς. ἐξετάσωμεν γάρ, εἰ δοκεῖ. Ἀπήγγειλέ τις ἡμᾶς, ὡς ἀκούω, τὰ πρῶτα τεθνάναι, λῃσταῖς περιπεπτωκότας. ἡ δὲ ἠπίστησεν. ὃ γὰρ οὐκ ἠβούλετο, τοῦτο οὐκ ᾤετο. αὐτοὺς ἐπέστελλον μετὰ ταῦτα, τὴν δουλείαν μηνύοντες· ἡ δὲ οὐ διειλέχθη πρὸς αὐτὴν ὑπὲρ ἀνδρὸς δευτέρου· καίτοι πολλὰς ἴσμεν ἀπὸ τῶν πρώτων προφάσεων μεταπηδᾶν εἰς ἑτέρους εἰθισμένας. Ἔμελλεν ὁ πα-

τὴρ

τὴρ μοι βοηθήσειν, ἡ δὲ ἔφθη τὴν τούτου προθυμίαν· ἀπέδοτο κόσμον, οὗ μάλιστα γυναῖκες ἐρῶσιν· ἐπέβη σκάφους, ἀκούσασα μεστὴν εἶναι καταποντιστῶν τὴν θάλασσαν· ὑπήνεγκε πνευμάτων καταιγίδας· ὑπήνεγκε κυμάτων προσβολάς· ἐπεῖδε βαπτιζομένην τὴν ναῦν· ἐπέδωκε τὴν ψυχὴν ὑπὲρ ἡμῶν· ἐξηνέχθη πρὸς τὴν γῆν ἐν οἰκτρῷ τῷ σχήματι· ἤρκεσεν ἡμῖν καὶ μετὰ τὴν τελευτὴν εἰς λύσιν· ἐξεῖλε τὴν τῶν μύθων ἀπιστίαν, βεβαιωσαμένη τοῖς παρ' αὐτῆς τὰ πάλαι θρυλλούμενα. ἐπὶ τούτοις γάμου φροντίσαι με κελεύεις; ζῶν γὰρ ἔτι καὶ περιὼν καὶ βλέπων τοῦτον τὸν ἥλιον οὐκ ἀδικεῖν σοι δοκῶ; καὶ τίς ἡμῖν διαλέξεται; τίς συμβαλεῖ; τίς κοινωνήσει πραγμάτων; τίς δημότης; τίς φυλέτης; τίς μέτοικος; εἰ σὺ μὲν ἐπιτάττοις, ἐγὼ δὲ τοιαῦτα πειθοίμην; καλάς γε ὁ δῆμος ἐν ἡμῖν προσδοκίας ἕξει, καὶ δώσει τιμάς, ὁρῶν οὕτω περὶ τοὺς ἀναγκαίους διατεθέντας. ὁ γὰρ πρὸς τοὺς οἰκείους πονηρός, οὐκ ἂν γένοιτο περὶ τὰ κοινὰ βελτίων. τίς δὲ ἡμῖν ὅλως, ὦ πάτερ, (ἵνα καὶ τοῦτο εἴπω,) κηδεῦσαι βουλήσεται; τίς δώσει θυγατέριον εἰς οὕτω προφανεῖς φάραγγας; οὐκ οἶσθα ὅτι πρὸς τὰ πρεσβύτερα βλέποντες τὰ δεύτερα κρίνουσιν ἄνθρωποι; καὶ διδαχὴ γίνεται τῶν μελλόντων τὰ φθάσαντα; Ἐγὼ δὲ ἐκείνους τοὺς λόγους ἐζήτουν παρὰ τοῦ παιδός, εἴ μέ τις λογισμὸς εἰσῄει γάμου· ὦ παῖ, τῆς ἀνθρωπείας ἀπηυτομόληκας φύσεως; τὴν τῶν θηρίων ἐζήλωκας ἀγριότητα; ταχέως ἐπελάθου τῆς ναυαγίας ἐκείνης; γαμεῖν ἐθέλεις; οὐ γὰρ ὀκνεῖς γάμου καὶ τοὔνομα; καὶ τίσιν ὀφθαλμοῖς ὄψει τοὺς συγγενεῖς τῆς προτέρας; ἢ τοὺς μὲν ἀξιοῖς θρηνεῖν, αὐτὸς δὲ κωμάζειν; καὶ τὴν μὲν ὑπὲρ σοῦ τὰ πάντα τολμᾶν, αὐτὸς δὲ μηδ' ὅσον σωφρονεῖν ἐθέλειν ἐκείνῃ χαρίζεσθαι; ἤδη τις γενναῖον ἵππον ἀποβαλών, οὐκ ἐπείρατο δεύτερον τῇ περὶ τὸν ἔμπροσθεν λύπῃ· σὺ δὲ τῷ τῆς γυναικὸς θανάτῳ περιφανῶς σεσωσμένος, κατ' ἐκείνης κέχηνας τῇ σωτηρίᾳ; οὕτω

πρό-

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε. Γ. Α τμ. Κ.τ.Π. ΙΩΑΝΝΙΝΑ 2006

πρέποντες οἱ λόγοι πρεσβύτῃ νουθετοῦντι νέον. ὁ δὲ πατὴρ, ὡς ἔοικε, σωφρονοῦσιν ἄχθεται. Παῖδας γάρ, φησιν, ἐκ σοῦ γενέσθαι βούλομαι, καὶ διαδόχους εἶναι τοῦ γένους. εἰπέ μοι πάτερ· ἕπεται γὰρ εὐθὺς ἡ παιδοποιΐα τῷ γάμῳ; πόσους ἐπιδείξω σοι τῶν πολιτῶν γυναῖκας μὲν αὐτῶν ἔχοντας εἰπεῖν, πατέρας δὲ οὐ κεκλημένους; ἀνθρώπους εἰς ἔσχατον ἤδη γῆρας ἥκοντας, καὶ τὴν ἐλπίδα τοῦ πράγματος προσαφῃρημένους; ἂν οὖν ἐγὼ μέν σοι ταῦτα πείθωμαι, γυνὴ δὲ ἔνδον ᾖ, παῖδες δὲ μηδαμῇ φαίνωνται, ἆρ' οὐκ ἀνάγκη πονηρὸν μὲν εἶναι, πατέρα δὲ μὴ γενέσθαι; καὶ τὴν μὲν ἀγνωμοσύνην ἐπιδεδεῖχθαι, τοὺς δὲ διαδόχους οὐκ ἔχειν; εἰκὸς δὲ δήπου καὶ τὸ δαιμόνιον ἐνταῦθα νεμεσήσειν, καὶ δίκην τῆς μοχθηρίας ἐπιθήσειν τὴν ἀπαιδίαν. Καὶ δὴ δῶμεν εὐθὺς ἔσεσθαι παῖδας. τίς οὖν ἐγγυᾶται θεῶν, ὡς εἰς ἀκμὴν προβήσονται; βούλει σοι πάλιν ἐξαριθμήσω τοὺς ἐκ πολυπαιδίας εἰς ἐρημίαν λήξαντας; καὶ τὰ μνήματα δεικνύντας ἀντὶ τῶν υἱέων; ἂν μὲν οὖν ἡμεῖς νῦν θῶμεν γενέσθαι, μικρὸν δὲ ὕστερον θάπτωμεν, οὐκ οἴει μείζω τὴν αἰτίαν καὶ τοῦτο γενέσθαι; λυπεῖ γὰρ οὐ τὸ μὴ γεύσασθαι τῶν χρηστῶν, ὡς ἡ μετὰ τὴν πεῖραν στέρησις. Ἀλλ' ἔσονται, καὶ βιώσονται, καὶ τοῦτο οἱ μάντεις ὑπισχνοῦνται. καλῶς. τίς οὖν ἐγγυητὴς τῆς ῥοπῆς; οὐχ ὁρᾷς τοὺς μὲν οἴνῳ; τοὺς δὲ ἑταίραις προσκειμένους; τοὺς δὲ τοίχους διορύττοντας; τοὺς δὲ τοῖς ἀπαντῶσι πληγὰς ἐντείνοντας; τοὺς δὲ μισθὸν τῆς ὥρας λαμβάνοντας; τούτοις οὖν πότερον, εἶναι βέλτιον, ἢ τεθνάναι; καὶ πότερον, εὐφραίνουσι ζῶντες, ἢ καταισχύνουσιν; ἐγὼ μὲν γὰρ οἶδα πολλοὺς πατέρας, οἳ ζώντων μὲν τῶν παίδων καταδύονται, τετελευτηκότων δὲ ἀνακύπτουσι. Χωρὶς δὲ τούτων ἄπαιδα μὲν διαμεῖναι δυστυχίας ἂν εἴη. (θνῄσκομεν γάρ.) ἀτιμάσαι δὲ τοὺς εὔνους, πονηρίας. ὅσῳ δὲ μετριώτερον δυστυχῆ μᾶλλον εἶναι δοκεῖν ἢ φαῦλον, τοσούτῳ

αὐτῷ κρεῖττον θαυμάσαι τὴν ἀπελθοῦσαν ἢ συνοικοῦσαν δευτέρᾳ. Ἔπειτα τί καὶ δέδοικας; σὺ μὲν γὰρ ἔχεις τοὺς θεραπεύσοντας καὶ κουφιοῦντας τὸ γῆρας τουτονὶ τὸν τῆς ἀποκηρύξεως ἄξιον. τὸ δὲ ἡμέτερον ἄφες. ἐμοὶ μεῖζον παίδων εἰς παραμυθίαν τὸ μηδὲν δυσσεβὲς ἐμαυτῷ συνειδέναι. πολλῶν εὐπορήσομεν βοηθῶν ἀπὸ τῆς παρούσης γνώμης, τάχα δ' ἴσως καὶ παῖδας κτησόμεθα. γάμου δὲ καὶ τὴν μνήμην, ὦ πάτερ, ἄνελε. οὐ γὰρ ἐν ὑμεναίοις ἐμοὶ τὰ πράγματα· πολλῶν εἰμι συμφορῶν ἀνάμεστος. ἔα με ταῦτα ὀδύρεσθαι· ὦ ψυχὴ γενναίας γυναικός· σύ μοι τῆς ἀποκηρύξεως αἰτία· τί γὰρ οὐκ ἔμεινας κατὰ χώραν; τί δὲ οὐκ ἐμιμοῦ τὸν πατέρα; τί δὲ παρῆκας τὴν φύσιν τοῖς ἔργοις; ὦ θαλάττιοι δαίμονες, ἀντὶ ποίων ἀδικημάτων κατεδύσατε τὸ σκάφος; τίνα καταγνόντες τῆς ἀναγωγῆς ἀηδεστέραν αἰτίαν; ἤκουσεν ἡ δυστυχὴς τὴν ἐμὴν δουλείαν· ἐπλήγη πρὸς τὴν ἀκοήν· ἐμηχανήσατο πόρον· ἐξέπλευσεν, ἀπαλλάττουσα τῶν δεινῶν. ὑμεῖς δὲ ἀντὶ τοῦ σῶσαι καὶ στορέσαι τὸ κλυδώνιον καὶ παραπέμψαι πρὸς λιμένας, ἀνετρέψατε καὶ διεφθείρατε, καὶ διενείματε τὴν ἡμετέραν συζυγίαν λῃσταῖς καὶ ναυαγίοις; τί οὖν εἴπερ ἀναγκαῖον ἦν, οὐ μετηλλάξατε τὰς τύχας; ὤφελον ἐγὼ κεῖσθαι νῦν, ἡ δὲ ἐφ' ἡμῖν δακρύειν. ἐπεὶ δὲ τοῦτο οὐχ ὑπῆρξε, δὸς ἡμῖν, ὦ πάτερ, χάριν μετρίαν· ἐπίτρεψον μέχρι τῆς τελευταίας θρηνεῖν. μὴ στεφανώσῃς· μηδὲ προσείπῃς αὖθις νυμφίον. αἰσχύνομαι τοὺς λῃστάς, εἰ πύθοιντο γάμους δευτέρους. ὅλως δὲ εἰ καὶ σφόδρα βουλοίμην ὑπακούειν, οὐχ ὁρῶ πῶς ἂν δυναίμην; φαιδρὸν εἶναι δεῖ τὸν νυμφίον, ἐγὼ δὲ κατηφής· ἀνειμένον, ἐγὼ δὲ συνεσταλμένος· ἐρωτικόν, ἐγὼ δὲ ἀπ' ἐκείνης τῆς ἡμέρας ἀνέραστος· φοβοῦμαι μὴ τοῖς ὑμεναίοις ἀναμίξω τὰ δάκρυα· μὴ ταῖς εὐχαῖς, τὰς οἰμωγάς· κατείλημμαι τὴν ψυχὴν ἀκριβῶς ἐξ ἐκείνης. ὁμο-

λογῶ

λογῶ βλέπειν τὸν τύπον. ἀκούειν μοι δοκῶ τῆς φωνῆς ἐκείνης. δέδοικα μὴ τῇ δευτέρᾳ συγκατακείμενος, ἐκείνην ἀνακαλέσομαι. Καὶ μὴν τοῖς τε ποιηταῖς σύνηθες ᾄδειν ἐπὶ θύραις νυμφίων μέλη. ταῦτα δέ ἐστιν εὐφημίαι τῶν μιγνυμένων ἐπ' ἄλλοις πολλοῖς καὶ τὸ μέγιστον τῶν δεξιῶν τῆς τύχης. τί βούλει δρᾶσαι τὸν ποιητὴν εἰς τὸ μέρος τοὐμόν; εἰπεῖν ὡς εὐδαίμων; ἀλλὰ ψεύσεται. ἀλλ' ὡς ἄθλιος; ἀληθὴς μὲν ὁ λόγος, ἀλλ' οὐ συνᾴδων τοῖς γιγνομένοις; Ἄνδρες Δικασταί, ἐγὼ πάντα πλὴν ἑνὸς τούτου πείθομαι τῷ πατρί. μαστιγώτω, στρεβλούτω, τὰ τῶν οἰκοτρίβων ὑπουργεῖν ἐπιταττέτω. θαυμάσεται τὴν ἐν τοῖς ἄλλοις ἐπιμονήν. τοῦτο δὲ μόνον σιωπάτω, τὸν γάμον. δεινῶς μου στρέφει τοὔνομα τὴν ψυχήν. εἰ δὲ δυοῖν θάτερον ἢ γαμεῖν, ἢ μεθιστάναι, ὅ,τι μὲν ἀπολογήσεσθε ταῖς ὑμετέραις αὐτῶν γυναιξὶ ταύτην θέμενοι τὴν ψῆφον οὐκ οἶδα. ἐγὼ δὲ ὑποχωρήσω μὲν, οὐκ ἐπινεύσω δὲ, ὥστε τὴν γνώμην κρείττω δεῖξαι τοῦ σχήματος. τίς οὖν ἐστι παραμυθία; κρότος ὁ παρὰ τῶν σωφρόνων. ἔπαινος ὁ τῶν ἐπιεικεστέρων. ῥήματα τῆς πολλῆς οὐσίας λαμπρότερα. πολλοὶ φιλονεικήσουσιν ὑπὲρ τῆς εἰς ἐμὲ κοραιοίας. εἰ δ' οὖν πανταχόθεν ἐξειργοίμην, ἀρκεῖ μοι τοῦτο πρὸς ἡδονήν. θρηνῶν τὴν γυναῖκα τεθνήξομαι.

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006